# Κίκονες

«Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων, — Ομ. Ιλ. Β. 846
υἱὸς Τροιζήνοιο διοτρεφέος Κεάδαο.»

ὅρα Σούφρας ἐν [illegible] συλλογῇ — Ομ. Οδύσσεια ι. 39-75.

ὅρα Βρέναι σ. 238 Τ. Α΄.
" Τ. ΙΙ΄ σ. 268
" ... σ. 261

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

39. «Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν, Ὀδύσσεια Ι
Ἰσμάρῳ. ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον, ὤλεσα δ' αὐτούς·
ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες
δασσάμεθ', ὡς μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.
ἔνθ' ἤτοι μὲν ἐγὼ διερῷ ποδὶ φευγέμεν ἡμέας
ἠνώγεα, τοὶ δὲ μέγα νήπιοι οὐκ ἐπίθοντο.
ἔνθα δὲ πολλὸν μὲν μέθυ πίνετο, πολλὰ δὲ μῆλα
ἔσφαζον παρὰ θῖνα καὶ εἰλίποδας ἕλικας βοῦς·
τόφρα δ' ἄρ' οἰχόμενοι Κίκονες Κικόνεσσι γεγώνευν,
οἵ σφιν γείτονες ἦσαν, ἅμα πλέονες καὶ ἀρείους,
ἤπειρον ναίοντες, ἐπιστάμενοι μὲν ἀφ' ἵππων
ἀνδράσι μάρνασθαι, καὶ ὅθι χρὴ πεζὸν ἐόντα·
ἦλθον ἔπειθ', ὅσα φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
ἠέριοι· τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθοιμεν.
στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσιν
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ
τόφρα δ' ἀλεξόμενοι μένομεν πλέονάς περ ἐόντας.
ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε,
καὶ τότε δὴ Κίκονες κλῖναν δαμάσαντες Ἀχαιούς
ἓξ δ' ἀφ' ἑκάστης νηὸς ἐϋκνήμιδες ἑταῖροι
ὤλονθ'· οἱ δ' ἄλλοι φύγομεν θάνατόν τε μόρον τε.»

 Ισμαρος. Κικονες. οινος. Μάρων. Απολλων

χρυσος. αργυρος. κρατηρ.

Οδύσσεια. Ι. α ως τότε μεν πρόπαν ήμαρ ες ήέλιον καταδύντα 161.

ήμεθα δαινύμενοι κρέα τ' άσπετα και μέθυ ηδυ·
ου γάρ πω νηων εξέφθιτο οίνος ερυθρος,
αλλ ενέην· πολλον γαρ εν αμφιφορευσιν έκαστοι
ηφύσαμεν Κικόνων ιερον πτολιεθρα ελόντες.

αυθι. 196. .. ατάρ αίγεον ασκον έχον μέλανος οίνοιο
ηδέος, όν μοι έδωκε Μάρων Ευάνθεος υιος,
ιρευς Απόλλωνος, ος Ίσμαρον αμφιβεβήκει,
ούνεκά μιν συν παιδί περισχόμεθ' ηδε γυναικι
αζόμενοι· ώκει γαρ εν άλσεϊ δενδρήεντι
Φοίβου Απόλλωνος. ο δέ μοι πόρεν αγλαα δώρα·
χρυσου μέν μοι έδωκ' ευεργέος επτα τάλαντα,
δώκε δέ μοι κρητήρα πανάργυρον, αυτάρ έπειτα
οίνον εν αμφιφορευσι δυώδεκα πάσιν αφύσσας
ηδυν ακηράσιον, θείον ποτον· ουδέ τις αυτον
ηείδη δμώων ουδ' αμφιπόλων ενι οίκω,
αλλ αυτος άλοχός τε φίλη ταμίη τε μί' οίη.
τον δ' ότε πίνοιεν μελιηδέα οίνον ερυθρον,
εν δέπας εμπλήσας ύδατος ανα είκοσι μέτρα
χεύ', οδμη δ' ηδεα απο κρητήρος οδώδειν
θεσπεσίη· τότ' αν ού τοι αποσχέσθαι φίλον ήεν
του φέρον εμπλήσας ασκον μέγαν, εν δε και ηα
κωρύκω.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ